Α′

Εὖ μὲν εἱμάρθαι παρὰ δαίμ[ονος ἀν-
θρώποις ἄριστον·
συμφορὰ δ᾽ ἐcθλόν ⟨τ᾽⟩ ἀμαλδύ-
νει β]αρύτ¦λ[ατ]ος μολοῦcα
καὶ τ]ὸν κακ̣[ὸν] ὑψιφανῆ τεύ-
χει κ]ατορθωθεῖcα· τιμὰν
δ᾽ ἄλ]λος ἀλλοίαν ἔχει·
μυρί]αι δ᾽ ἀνδρῶν ἀρε[ταί,] μία δ᾽ ἐ[κ
παcᾶ]ν πρόκειται,
ὃc τὰ] πὰρ χειρὸc κυβέρνα-
cεν δι]καίαιcι φ¦ρένεccιν.
οὔτ᾽ ἐ]ν̣ βαρυπενθέcιν ἁρμό-
ζει μ]ά̣χαιc φόρμιγγοc ὀμφὰ
καὶ λι]γ̣υκ¦λαγγεῖc χοροί,
οὔτ᾽ ἐ]ν θαλίαιc καναχὰ
χαλκ]όκτυποc· ἀλλ᾽ ἐφ᾽ ἑκάcτωι
καιρὸc] ἀνδρῶν ἔργματι κάλ-
λιcτοc· [ε]ὖ ἔρδοντα δὲ καὶ θεὸc ὀ[ρθοῖ.
Κλεοπτολέμωι δὲ χάριν
νῦν χρὴ Ποcειδᾶνόc τε Πετ¦ρ[αί-
ου τέμενοc κελαδῆcαι,